ἀργύριον καὶ χαλκὸν ἤνεγκαν τὰ ἀφαιρέματα κυρίῳ, καὶ παρ'
οἷς εὑρέθη ξύλα ἄσηπτα εἰς πάντα τὰ ἔργα τῆς κατασκευῆς,
ἤνεγκαν. [25]καὶ πᾶσα γυνὴ σοφὴ τῇ διανοίᾳ ταῖς χερσὶν νήθειν 25
ἤνεγκαν νενησμένα, τὴν ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκι-
νον καὶ τὴν βύσσον· [26]καὶ πᾶσαι αἱ γυναῖκες, αἷς ἔδοξεν τῇ δια- 26
νοίᾳ αὐτῶν ἐν σοφίᾳ, ἔνησαν τὰς τρίχας τὰς αἰγείας. [27]καὶ οἱ ἄρ- 27
χοντες ἤνεγκαν τοὺς λίθους τῆς σμαράγδου καὶ τοὺς λίθους τῆς
πληρώσεως εἰς τὴν ἐπωμίδα καὶ εἰς τὸ λογεῖον [28]καὶ τὰς συνθέ- 28
σεις καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος.
[29]καὶ πᾶς ἀνὴρ καὶ γυνή, ὧν ἔφερεν ἡ διάνοια αὐτῶν εἰσελθόντας 29
ποιεῖν πάντα τὰ ἔργα, ὅσα συνέταξεν κύριος ποιῆσαι αὐτὰ διὰ
Μωυσῆ, ἤνεγκαν οἱ υἱοὶ Ισραηλ ἀφαίρεμα κυρίῳ.
[30]Καὶ εἶπεν Μωυσῆς τοῖς υἱοῖς Ισραηλ Ἰδοὺ ἀνακέκληκεν ὁ θεὸς 30
ἐξ ὀνόματος τὸν Βεσελεηλ τὸν τοῦ Ουριου τὸν Ωρ ἐκ φυλῆς Ιου-
δα [31]καὶ ἐνέπλησεν αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ 31
ἐπιστήμης πάντων [32]ἀρχιτεκτονεῖν κατὰ πάντα τὰ ἔργα τῆς ἀρχι- 32
τεκτονίας ποιεῖν τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκὸν [33]καὶ 33
λιθουργῆσαι τὸν λίθον καὶ κατεργάζεσθαι τὰ ξύλα καὶ ποιεῖν ἐν
παντὶ ἔργῳ σοφίας· [34]καὶ προβιβάσαι γε ἔδωκεν αὐτῷ ἐν τῇ δια- 34
νοίᾳ, αὐτῷ τε καὶ Ελιαβ τῷ τοῦ Αχισαμακ ἐκ φυλῆς Δαν· [35]ἐνέ- 35
πλησεν αὐτοὺς σοφίας καὶ συνέσεως διανοίας πάντα συνιέναι ποιῆ-
σαι τὰ ἔργα τοῦ ἁγίου καὶ τὰ ὑφαντὰ καὶ ποικιλτὰ ὑφᾶναι τῷ
κοκκίνῳ καὶ τῇ βύσσῳ ποιεῖν πᾶν ἔργον ἀρχιτεκτονίας ποικιλίας.
[1]καὶ ἐποίησεν Βεσελεηλ καὶ Ελιαβ καὶ πᾶς σοφὸς τῇ διανοίᾳ, ᾧ 36
ἐδόθη σοφία καὶ ἐπιστήμη ἐν αὐτοῖς συνιέναι ποιεῖν πάντα τὰ
ἔργα κατὰ τὰ ἅγια καθήκοντα, κατὰ πάντα, ὅσα συνέταξεν κύριος.
[2]Καὶ ἐκάλεσεν Μωυσῆς Βεσελεηλ καὶ Ελιαβ καὶ πάντας τοὺς 2
ἔχοντας τὴν σοφίαν, ᾧ ἔδωκεν ὁ θεὸς ἐπιστήμην ἐν τῇ καρδίᾳ,
καὶ πάντας τοὺς ἑκουσίως βουλομένους προσπορεύεσθαι πρὸς τὰ
ἔργα ὥστε συντελεῖν αὐτά, [3]καὶ ἔλαβον παρὰ Μωυσῆ πάντα τὰ 3
ἀφαιρέματα, ἃ ἤνεγκαν οἱ υἱοὶ Ισραηλ εἰς πάντα τὰ ἔργα τοῦ ἁγίου
ποιεῖν αὐτά, καὶ αὐτοὶ προσεδέχοντο ἔτι τὰ προσφερόμενα παρὰ
τῶν φερόντων τὸ πρωὶ πρωί. [4]καὶ παρεγίνοντο πάντες οἱ σοφοὶ 4
οἱ ποιοῦντες τὰ ἔργα τοῦ ἁγίου, ἕκαστος κατὰ τὸ αὐτοῦ ἔργον, ὃ

24 αργ. κ. χαλκ. / ηνεγκαν] tr. B† | εις] pr. και A || 27 εις ult. > B || 28 και τας συνθ.] της συνθεσεως A† || 29 και $2^0$] η A | εισελθοντας A] -τα B*, εισηλθον του Bc† || 30 ουρι A | τον ult.] υιου A: cf. 31 2 | φυλης] pr. της A || 31 θειον > B*† || 34 γε et αυτω $1^0$ > A | ελιαβ] pr. τω A | αχισαμαχ A || 35 init.] pr. και A | και συνεσ. > A | παντα / συν. ποιησαι] tr. A | και $2^0$ > A | ποικιλτα] pr. τα A

36 1 κατα $1^0$ > Bc | καθηκ.] pr. τα A || 2 βεσελ.] pr. τον A || 3 πρωι ult. > B || 4 παραγενομενοι A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/201 UNIVERSITÄT LEIPZIG